Iniuſtitia.

Iniuſtitia verò, vitium animi eſt, quo amplius, quàm par ſit, qualibet in re habere, pollereque volunt.

Illiberalitas.

Illiberalitas autem, vitium, quo lucrum vndicunque oblatum ſectantur.

Puſillitas animi.

Puſillitas autem, paruitáſque animi, vitium eſt, per quod fit, vt neque fortunam, nec infortunium, neque nomen, nec ignominiam ferre poſſint.

QVID SIT VNICVIQVE VIRTVTI SVVM.

Prudentiæ.

Ac prudentiæ quidem eſt, & conſilium capere, & bona, maláque diſcernere, & petenda, fugiendáve in vita omnia iudicare, & bonis iis, quæ quidem conceſſa nobis naturâ ſunt, præclarè vti, & rectè cum hominibus congredi, & opportunitatem rerum cernere, & rationem, orationémque ſagaciter adhibere, & eorum, quæ eſſe nobis poſſunt vſui, omnium experimentum, ſcientiámque tenere. Ipſa verò memoria experientiáque, & induſtria, aut à prudentia proficiſcuntur, aut comes eius vnaquæque earum exiſtit. Aut experimentum, & memoria quidem, concurrentes, coadiutricéſque cauſæ, induſtria verò, & in dando conſilio felicitas, partes prudentiæ ſunt iudicandæ.

Manſuetudinis.

Manſuetudinis eſt autem, criminationes, calumniáſque, & contemptus moderatè ferre, ac ad vindictam celeriter non tendere, miniméque ad iram præcipitem eſſe: & cùm nec inſuauibus, nec irritabilibus moribus ſis, placidum, ſtabilémque animum retinere.

Fortitudinis.

At fortitudinis eſt, imperculſo mortis ad minas animo eſſe, alacritatémque difficilibus in rebus ſeruare, ad ſubeunda pericula animis abundare, magíſque præclarè mori, quàm turpiter viuere, ſeruaríque cupere, authorémque victoriæ exiſtere. Ad hæc, laborare, duraréque cùm velle, cupeгéque, tum poſſe, fortitudinis eſt. Hanc & animoſitas, & generoſitas, & fiducia, & audacia, tum & ſedulitas, & tolerantia ſequuntur.

Sobrietatis, vel temperantiæ,

Sobrietatis autem, ſiue moderationis, voluptatum corporearum illecebras minimè mirari, nulláque turpis illectamenti delinitione duci, ac etiam licitis vtendi rebus ſecuritatem ſuſpectam habere: &

A Ἀδικία.

Ἀδικία δέ ἐστι κακία ψυχῆς, καθ᾽ ἣν πλεονεκτικοὶ γίνονται παρὰ τὴν ἀξίαν.

Ἀνελευθερία.

Ἀνελευθερία δέ ἐστι κακία ψυχῆς, καθ᾽ ἣν ὀρέγονται τοῦ πανταχόθεν κέρδους.

Μικροψυχία.

Μικροψυχία δέ ἐστι κακία ψυχῆς, καθ᾽ B ἣν ἀδύνατοί εἰσι φέρειν εὐτυχίαν, καὶ ἀτυχίαν, καὶ τιμὴν, καὶ ἀτιμίαν.

ΤᾺ ΤΩ͂Ν ἈΡΕΤΩ͂Ν.

Τὰ τῆς φρονήσεως.

Τῆς δὲ φρονήσεώς ἐστι, τὸ βουλεύσασθαι, τὸ κρῖναι τὰ ἀγαθὰ, καὶ τὰ κακὰ, καὶ πάντα ἐν τῷ βίῳ αἱρετὰ καὶ φευκτά· τὸ χρῆσθαι πᾶσι καλῶς τοῖς ὑπάρχουσιν ἀγαθοῖς, τὸ ὁμιλῆσαι ὀρθῶς, τὸ συνιδεῖν τοὺς καιροὺς, τὸ ἀγχίνως C χρήσασθαι καὶ λόγῳ καὶ ἔργῳ, τὸ τὴν ἐμπειρίαν ἔχειν τῶν χρησίμων πάντων. ἡ μνήμη δὲ καὶ ἐμπειρία, καὶ ἀγχίνοια, ἤτοι ἀπὸ τῆς φρονήσεως ἑκάστη αὐτῶν ἐστὶν, ἢ παρέπεται τῇ φρονήσει· ἢ τὰ μὲν αὐτῶν οἷον συναίτια τῆς φρονήσεώς ἐστι, καθάπερ ἐμπειρία καὶ ἡ μνήμη· τὰ δὲ οἷον μέρη αὐτῆς, οἷον εὐβουλία καὶ ἀγχίνοια.

D Πρᾳότητος.

Πρᾳότητος δέ ἐστι, τὸ δύνασθαι φέρειν μετρίως ἐγκλήματα καὶ ὀλιγωρίας, καὶ τὸ μὴ ταχέως ὁρμᾷν ἐπὶ τὰς τιμωρίας, καὶ τὸ μὴ εὐκίνητον εἶναι πρὸς τὰς ὀργὰς, ἄπικρον δὲ τῷ ἤθει καὶ ἀφιλόνεικον ἔχοντα τὸ ἠρεμαῖον ἐν τῇ ψυχῇ, καὶ στάσιμον.

Ἀνδρείας.

E Ἀνδρείας δέ ἐστι, τὸ δυσέκπληκτον ὑπὸ φόβων τῶν περὶ θάνατον, καὶ τὸ εὐθαρσῆ ἐν τοῖς δεινοῖς, καὶ τὸ εὔτολμον πρὸς τοὺς κινδύνοις, καὶ τὸ μᾶλλον αἱρεῖσθαι τεθνάναι καλῶς, ἢ αἰσχρῶς σωθῆναι, καὶ τὸ νίκης αἴτιον εἶναι. ἔτι δὲ ἀνδρείας ἐστὶ καὶ τὸ πονεῖν, καὶ καρτερεῖν, καὶ αἱρεῖσθαι ἀνδραγαθίζεσθαι. παρέπεται δὲ τῇ ἀνδρείᾳ καὶ ἡ εὐτολμία, καὶ ἡ εὐψυχία, καὶ τὸ F θάρσος, καὶ τὸ θράσος· ἔτι δὲ καὶ ἡ φιλοπονία, καὶ ἡ καρτερία.

Σωφροσύνης.

Σωφροσύνης δέ ἐστι, τὸ μὴ θαυμάζειν τὰς ἀπολαύσεις τῶν σωματικῶν ἡδονῶν, καὶ τὸ εἶναι πάσης ἀπολαύσεως αἰσχρᾶς ἡδονῆς ἀόρεκτον, καὶ τὸ φοβεῖσθαι καὶ τὴν δικαίαν ἄδειαν,